# Joannes Geometres' *Metaphrasis of the Odes*: Critical Edition

*Marc De Groote*

JOANNES GEOMETRES (*ca* 935–1000), the son of what he himself calls "a loyal servant" of the emperor (ὀτρηρὸς θεράπων),[1] was not only one of the leading poets and rhetoricians of his time; he also served in the Byzantine army as a high-ranking soldier (protospatharios?).[2] Hence he belonged to the inner circles of literary and political Constantinople. Shortly before 986 he was dismissed from military service for reasons that are still unclear to us. He himself claims that the combination of being both poet and soldier—καὶ σοφίῃ θάλλων καὶ τόλμῃ κραδίης—was unappreciated by the authorities and envied by his fellow citizens, so he was discharged.[3] A more plausible reason, however, could be his attachment to the faction of Basileios Nothos, who had been acting as emperor since 976, because the legal heirs to the throne, Basil II and Constantine, were too young to govern the empire themselves; Nothos was deposed in 985.[4] Be that as it may, after his dismissal Geometres left his luxurious mansion in the Mesomphalos area of the city and retired as a monk in the

[1] From the poem Εἰς ἑαυτοῦ πατέρα 2, ed. Cramer, *Anecd. Ox.* (1841) 280.15. All citations of epigrams are based on this edition.

[2] So according to *Oxon.Bodl.Barocc.* 25 ff.280$^{v}$ and 287$^{r}$.

[3] Εἰς ἑαυτ. 2, Cramer 295.24, *cf.* 317.32–318.6.

[4] See M. D. Lauxtermann, "John Geometres. Poet and Soldier," *Byzantion* 68 (1998) 369–371, and *Byzantine Poetry from Pisides to Geometres. Texts and Contexts* I (Wiener Byzantinistische Studien 24.1 [2003]) 35–37.

*Greek, Roman, and Byzantine Studies* 44 (2004) 375–410
© 2004 *GRBS*

monastery Τὰ Κύρου, also situated in the ἱερὸν ἄστυ. By doing so he possibly got his second name Kyriotes.[5]

Geometres can be considered a forerunner of the eleventh-century pre-renaissance, a period during which authors would again, after centuries of merely collecting and preserving ancient traditions that would otherwise have been lost, express their own experiences in their works. Typical of the spirit of the age with its merger of Hellenism and Christianity would seem to be the following of his writings: (a) Ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Παντελεήμονα: *vita* of Pantoleon / Panteleemon, patron saint of physicians, in 1042 dodecasyllables;[6] (b) Παράδεισος: collection of 99 classicizing tetrastichs, based mainly on the *Apophthegmata Patrum* (see *CPG* 5560–5615), which formerly was sometimes ascribed erroneously to the fifth-century Neilos;[7] (c) Μετάφρασις τῶν ᾠδῶν: a rewording in 470

[5] *Cf.* V. Laurent, "Notes critiques sur de récentes publications," *EchOr* 31 (1932) 119.

[6] *Editio princeps* F. Morellus, *Elogium Sanctissimi Martyris Pantoleonis Graecis Jambicis olim ab auctore incerto scriptum et e Bibliotheca Regia erutum* (Paris 1605; reprinted *PG* 106.889–902); this edition is incomplete and offers only 336 verses. Later edition by L. Sternbach, *Ioannis Geometrae carmen de S. Panteleemone integrum* (Diss. class. philol. acad. litt. Cracoviensis 16 [1892]) 218–303, who used only two of the at least six extant manuscripts, and did not know the probable source text, a Passio (*BHG* 1412z) edited by B. Latyshev, *Hagiographica graeca inedita* (Mém. Acad. Imp. St.-Petersbourg 12.2 [1914]) 40–53.

[7] The *editio princeps* by Z. Skordylios, Νικήτα Φιλοσόφου τοῦ καὶ Δαβὶδ ἑρμηνεία εἰς τὰ τετράστιχα τοῦ μεγάλου πατρὸς Γρηγορίου τοῦ Ναζιανζήνου. Τοῦ αὐτοῦ … Ἰωάννου τοῦ Γεωμέτρου ἐπιγράμματα (Venice 1563), was the basis for the later edition by F. Morellus, *Ioannis Geometrae Paradisus* (Paris 1593; repr. *PG* 106.867–890). A third edition—for the first time under the name of Neilos—followed, F. X. Werfer, *Acta Philologorum Monacensium* 3 (1820) 61–118, "Nili ascetae paraenetica e codicibus Darmstadiensi et Bernensi." *Cf.* F. Lauchert, "Der unter Nilos des Ältern Namen überlieferte Παράδεισος," *BZ* 4 (1895) 125–127; L. Voltz, "Zu dem Παράδεισος des Ioannes Geometres," *BZ* 5 (1896) 481–483; J. B. Bury, "The Παράδεισος of Joannes Geometres," *BZ* 7 (1898) 134–137; F. Scheidweiler, "Studien zu Johannes Geometres," *BZ* 45 (1952) 295–297; P. Speck, "Zur Datierung des sogenannten Paradeisos," *BZ* 58 (1965) 333–336; A. Cameron, *The Greek Anthology from Meleager to Planudes* (Oxford 1993) 339; M. D. Lauxtermann, *The Byzantine Epigram in the Ninth and Tenth Centuries* (Amsterdam 1994) 115. A new edition is being prepared by my colleague Björn Isebaert (Ghent University).

dodecasyllables of nine biblical pericopes which had won canonical regard in the Greek Church soon after the fifth century and were recited during morning services (Ex. 15:1–19, Deut. 32:1–43, I Reg. 2:1–10, Hab. 3:2–19, Is. 26:9–19, Ion. 2:3–10, Dan. 3:26–56, 3:57–90, Luc. 1:46–55, 68–79).[8]

Although the *editio princeps* was provided in 1764 by A. M. Bandini in his description of the fifteenth-century Florentine MS. *Medic.Laur.gr.* V 37,[9] the best-known edition so far is that by J. A. Cramer (*Anecd. Ox.* 352–366), dating from 1841 and based on the thirteenth-century *Par.Suppl.gr.* 352. This version of the text was, with a few changes, republished in Migne's *Patrologia Graeca* (106.987–1002). Finally, A.-P. Koumantos provided a new edition in 1975,[10] but unfortunately based himself solely on a seventeenth-century MS. from the Meteores (*Metamorph.* 402) and failed to notice the previous editions.

Already soon after Cramer's edition corrections were suggested: in his supplement to the *Greek Anthology* N. Piccolos formulated quite a few objections; L. Sternbach, who collated *Par.Suppl.gr.* 690 (twelfth cent.), proposed valuable emendations, as did F. Scheidweiler in his treatment of Geometres' poetic technique.[11] In anticipation of the present edition I published in this journal a secondary witness to the *Metaphrasis*, a paraphrase written in 518 dodecasyllables by an author unknown to us, and preserved in only one MS., the sixteenth-

[8] See M. De Groote, "Der byzantinische Zwölfsilber in Joannes Geometres' Metaphrase der Oden," *BZ* 96 (2003) 73–81.

[9] *Catalogus codicum manuscriptorum Bibliothecae Mediceae Laurentianae* (Florence 1764–1770); *Accedunt supplementa tria ab E. Rostagno et N. Festa congesta necnon additamentum ex inventariis Bibliothecae Laurentianae* I (Leipzig 1961) 65–68.

[10] "Translation of the Nine Odes according to John Kyriotis Geometris," Δελτίον Βιβλικῶν Μελετῶν 3 (1975) 127–133.

[11] N. Piccolos, *Supplément à l'Anthologie grecque, contenant des épigrammes et autres poésies légères inédites* (Paris 1853) 243–244; L. Sternbach, "Analecta Byzantina," *Cheské Museum Filologické* 6 (1900) 308–314; Scheidweiler (*supra* n.7) 279, 281–282, 284, 286.

century *Par.gr.* 2743, written by Jacobos Diassorinos.[12] Furthermore, on the basis of these earlier contributions and a study of the full manuscript tradition which I had meanwhile undertaken, I was able to propose a list of corrections to the Cramer text and to examine Geometres' metaphrastic technique.[13]

The *Metaphrasis* has been preserved in the following eighteen manuscripts:[14]

**A** Athos, Ἰβήρων 539 (XV)
**B** Munich, *Bayer. Staatsbibl., Gr.* 65 (early XVI)
**C** Rome, *Bibl. Casan., Gr.* 1528 (XVI)
**D** Berlin, *Deutsche Staatsbibl., Phill.* 1463 (XVI)
**E** Modena, *Bibl. Est., Gr.* 65 (late XV)
**F** Paris, *Bibl. nat., Gr.* 2892 (XVI)
**G** Gießen, *Universitätsbibl.* 669 (XV)
**H** Athens, Ἱστορικὸν Μουσεῖον τοῦ Νέου Ἑλληνισμοῦ 64 (XVIII)
**I** Rome, *Bibl. Vatic., Barb. gr.* 74 (XVII)
**L** Florence, *Bibl. Medic. Laur., Gr.* V 37 (XV)
**M** Meteores, Μεταμορφ. 402 (XVII)
**N** Naples, *Bibl. Naz., Gr.* II A 11 (early XVI)
**O** Oxford, *Bodl. Libr., Barocc.* 25 (early XIV)
**P** Paris, *Bibl. nat., Suppl. gr.* 690 (XII)
**Q** Rome, *Bibl. Vatic., Ottob. gr.* 217 (XVII)
**R** Rome, *Bibl. Angel., Gr.* 50 (XVI)
**S** Paris, *Bibl. nat., Suppl. gr.* 352 (XIII)
**V** Rome, *Bibl. Vatic., Gr.* 1268 (late XV)

Their mutual relationships can be represented in the following stemma:[15]

12 M. De Groote, "The *Paraphrasis* of Joannes Geometres' *Metaphrasis of the Odes*," *GRBS* 43 (2002) 267–304.

13 De Groote (*supra* n.8) 73–75, and "Joannes Geometres und das Metaphrasieren der Oden," *BZ* 97 (2004) 95–111, which includes remarks on grammar, vocabulary, morphology, and syntax.

14 For a complete description see M. De Groote "The Manuscript Tradition of Joannes Geometres' Metaphrasis of the Odes," *RHT* 33 (2004) [forthcoming].

15 See De Groote (*supra* n.14). As it is a copy of **S** (the folios of which will be indicated in the right margin), codex **I** will not be mentioned in the *apparatus criticus*. The same applies to **B**, **D**, **N**, **Q**, and **R**, which are, directly or indirectly, copies of **E**.




Consequently, the following additional sigla will be used:

| | | | |
|---|---|---|---|
| **α** | = Pβ | **ζ** | = ηι |
| **β** | = γζ | **η** | = Lθ |
| **γ** | = Oδ | **θ** | = VF |
| **δ** | = Aε | **ι** | = Gκ |
| **ε** | = MH | **κ** | = CE |

Codes: $X^a$, $X^b$: first hand, second hand; $X^{ac}$: ante correctionem; $X^{ec}$: e correctione; $X^i$: in linea; $X^{mg}$: in margine; $X^{pc}$: post correctionem; $X^s$: supra lineam; α̣: uncertain letter α

Abbreviations: *add.*: addidit, -erunt; *cett.*: ceteri; *comp.*: compendium; *del.*: deleuit, -erunt; *hom.*: homoeoteleuton; *illeg.*: illegibilis; *l(l).*: linea(e); *om.*: omisit, -erunt; *rep.*: repetiuit, -erunt; *sec.*: secundus; *tr.*: transposuit, -erunt; *(tr.)*: transpositio

## Μετάφρασις τῶν ᾠδῶν

176$^{r}$

### Ὠιδὴ α´

[Ex. 15:1–19]

Αἰγυπτίων πόντωσις, ᾠδὴ Μωσέως,
Αἰγυπτίων ὄλεθρος, Ἰσραὴλ κράτος.

Ἄισωμεν ᾠδὴν τῷ κραταιῷ κυρίῳ,
δόξης γὰρ ἐπλήρωσε τὴν οἰκουμένην,
τὴν ἵππον ὡς ἔρριψε καὶ τὸν δεσπότην
ἄρδην Φαραὼ πρὸς θαλασσίαν χύσιν.
οὗτος βοηθὸς καὶ σκεπαστὴς καὶ πρόμος,
στρέφων τὰ δεινὰ πάντα πρὸς σωτηρίαν·
οὗτος Θεός μου, καὶ μόνον καὶ δοξάσω,
Θεὸς πατρῷος, τοῦτον ὑψώσω μόνον.
ἔθραυσεν ἐχθροὺς δεξιὰ σή, Χριστέ μου.
ὕδωρ διέστη πνεύματός σου τῇ βίᾳ,
ἔκρυψε πόντος ἐκκρίτους ἱππηλάτας,
εἰς τεῖχος ἐφράγησαν αἱ ῥευσταὶ φύσεις.
γλώσσας μεγίστας εἶλες, ὀφρῦν βαρβάρων.

SPOAMHLVFGCE

**4** Num. 14:21; Ps. 71:19; Hab. 3:3 **5** Ex. 14:21–28 **6** *cf.* Io. Geom. 324.32 **7/8** Eccli. 51:2 **9** Ps. 85:12, Is. 25:1 **8** *cf.* Io. Geom. 281.27 **11** Iudith 13:14; *cf.* Io. Geom. 286.6 **15** Ps. 11:4

**Metaphrasis titulus** *post* ᾠδῶν *add.* διὰ στίχων P, *post quod* τοῦ σοφωτάτου γεωμέτρου ἰωάννου *add.* P$^{b.mg}$, *add.* διὰ στίχων ἰωάννου O, *add.* ἀπὸ φωνῆς (ἀποφωνῆς C, ἀπο φωνῆς E) ἰωάννου γεωμέτρου δLFι, *om.* V
**Odae primae titulus** A$^{mg}$F$^{mg}$ι$^{mg}$, *om.* POεL **1/2** *om.* V **1** L$^{b.mg}$ **2** *post* κράτος *add.* ἄσωμεν τῷ κυρίῳ (= *Ex. 15:1b*) OG$^{mg}$κ, *add.* ⟨ἄ⟩σωμεν τῷ κυρίῳ. ἐνδόξως γὰρ δεδόξασται *in pagina opposita* L$^{b}$ **5** τὴν *om.* ι *post* ἵππον *add.* γὰρ L$^{a}$θι δεσπότην] ἱππότην α **7** σκεπαστὴς] σκέπας τὲ P πρόμος] πρόκος V **8** στρέφων τὰ] στρέφοντα VE πάντα *bis* G **9** μόνος β **10** πατρῷος *rep.* M$^{mg}$ **11** δεξιᾶ σῆ V χριστός L$^{a}$ **12** σοῦ Oε **13** ὑππηλάτας V **14** εἰς] ὡς L$^{b}$ ἐφράγησαν *Scheidweiler*] ἐρράγησαν SγL$^{a}$Fι, ἐπάγησαν PL$^{b}$, ἐράγησαν V αἱ] ὡς δ **15** ὀφρῦς P εἶλεν V, *post* εἶλες *add.* φρεσι F$^{ac}$ βάρων *comp.* M, βαρβάρων *recte* M$^{mg}$

ἄβυσσος ἐκπέπωκε τοὺς ἀνουστάτους,
σφοδρῶς ἔδυσαν ὡς μόλιβδος εἰς βάθος.
ἦξας δὲ λαὸν ἔκκριτον σὸν χειρί σου,
ἐχθρῶν ἀνοίκτων ἐξέσωσας μυρίων,
ᾤκισας εἰς γῆν ἡδονῶν πηγὴν ὅλην.
ὤδιναν ἔθνη καὶ παρωργίσθη γένη
οἰκοῦντα κύκλῳ καὶ λάτραι θεῶν νόθων.
εἴληφε Μωὰβ καὶ Φυλιστιεὶμ τρόμος,
ἔφριξε πᾶς τις σῶν βραχιόνων σθένος,
ἕως παρῆλθον οὓς ἐκληρώσω μόνους,
εἰς γῆν ποθεινὴν ἣν ἐπηγγείλω πάλαι.
ἀνθ᾽ ὧν κροτοῦντες κυμβάλοις καὶ τυμπάνοις,
ψαλτηρίοις, φόρμιγξιν, ὀργάνοις, λύραις
καὶ πᾶσιν ἄλλοις εἴδεσι μουσουργίας,
νίκας, τρόπαια, δόξαν ᾄδομεν μόνῳ
σοὶ τῷ κρατοῦντι καὶ θεῶν Θεῷ μόνῳ,
ὡς εἰς θάλασσαν ἵππον, ἁρματηλάτας
ἔκρυψας, ὡς φάλαγγα Φαραωνῖτιν,
ὁ δ᾽ Ἰσραὴλ ὥδευσε τὴν ὑγρὰν χύσιν.

SPAMHLVFGCE O inde a l. 17

**24** Ps. 88:11; 117:15–16; Sap. 11:21; *cf.* Io. Geom. 266.26 **30** *cf.* Io. Geom. 347.29 **32/33** Ex. 14:21–28 **34** Ex. 14:29; Ps. 105:9; *cf.* Greg. Naz. *De moderat. in disput.* 16

**16** ἐκπέπτωκε S^ac^PηE **17** σφοδρὸς G μολυβδος *sic* O, μόλοβδος H ἐς OH βάθους V^ac^ **20** ὤκησας PMLFι *et forsan* O, ᾤκησας AV **21** παροργίσθη θG γένος ζ **22** νόθων] μύθων P **23** φιλιστιεὶμ A, φιλυστιεὶμ ζ **24** ⟨ἔ⟩φρυξε O^ac^, ἔφρυξε AM πᾶς τις] πάντις V *post* σθένος *add.* προς σκηνωμ` πρ^ο^ ς̣^υ^ ọὐḷẹ̣ην κατ̣ọλ (*uoluitne* κατόλ⟨ωλεν⟩?) S^b.mg^ **25/26** *om.* α **27** ἀνθῶν θE κρατοῦντες τυμπάνοις καὶ κυμβάλοις δ, *post quod* καὶ πᾶσιν ἄλλοις εἴδεσι μουσουργίας (= *l. 29*) *add.* ε **28** ψαλτηρίαν V **30** ἄδομαι L **31** θεῶν θεῷ *tr.* δ θεῷ S^ec^ **32/34** *om.* α **32** ὡς *scripsi*] οἷς S (*cf. 9.19*) **33** φαραωνῖτιν *scripsi*] φαραωνίτιν S **34** *post* χύσιν *add.* ξηρὰν καθως περ πεζὸς ὑμν` σ^ό^ πατ̣ S^b.mg^ (*uoluitne* ὑμνῶν σέ, πάτ⟨ερ⟩?)

## Ὠιδὴ β′

[Deut. 32:1-43]

Νόμου πάλιν γραφέντος ᾠδὴ Μωσέως.

Οὐρανέ, πρόσσχες, γῆ δ', ἐνωτίσθητί μου,
καὶ προσδοκάσθω φθέγμα τοὐμὸν ὡς δρόσος,
ὡς ὄμβρος ἐπ' ἄγρωστιν, ὡς νιφὰς χλόῃ.
εἷς ἐστιν ἡμῖν, εἷς Θεός, Θεὸς μόνος,
σοφός, δίκαιος, πιστός, ἰσχυρὸς μόνος·
ὁδοὶ δὲ τούτου καὶ τρίβοι πᾶσαι κρίσεις.
οὗτος δὲ λαὸς μωρός, οὐ σοφὸς κρίσιν,
λαὸς πονηρὸς καὶ παρεκτετραμμένος.
ποίων καλῶν τίνουσι κυρίῳ γέρα;
οὐκ αὐτὸς οὗτος σῶμα σὸν διαπλάσας
καὶ χερσὶ πήξας καὶ διαρθρώσας μέλη,
υἱόν τε τάξας καὶ πατὴρ κεκλημένος,
ἀρχήν τέ σοι δοὺς τῶν ὁρωμένων ὅλων;
ἄφες τὰ κοινὰ καὶ σκόπει τῶν σῶν ὅσα·
πατὴρ ἐρεῖ σοι ταῦτα, πρεσβύτης γέρων.
Ἀδὰμ τὸ πρῶτον ὡς διέσπειρε γόνους,
ἔνειμεν ἔθνη καὶ καθίστα τοὺς ὅρους·

SPAMHLVFGCE  O usque ad l. 3 et inde a l. 6

**2** Is. 1:2; *cf.* Io. Geom. 341.15  **4** Ps. 71:6; Is. 55:10; Os. 6:3  **5** II Reg. 7:22; Sap. 12:13; Eccli. 36:4; Is. 44:6.8; 45:5.6.14.21; 46:9; Bel 41; Ioel 2:27  **7** Dan. (Th) 4:34  **9** Matth. 17:17; Luc. 9:41; Phil. 2:15  **13** Is. 63:16  **15** *cf.* Io. Geom. 277.32  **18** Gen. 10:1–32; Act. 17:26

**Odae secundae titulus** P$^{mg}$A$^{mg}$L$^{mg}$F$^{mg}$E$^{mg}$, *om.* Oε  **1** S$^{b.mg}$, *om.* OV  γραφέντα ι  *post* μωσέως *add.* πρόσεχε οὐρανὲ καὶ λαλήσω (= *Deut. 32:1a*) F$^{mg}$, *add.* πρόσεχε οὐρανὲ GC$^{mg}$E  **2** πρόσσχες *scripsi sicut* M$^{ac}$] πρόσχες *codd.*  δ' *om.* δ  **3** καὶ συγκατέλθοι S$^{b}$  τουμὸν *sic*: το O$^{s}$  **4** ὡς$^{1}$] ἐπ' V  ἄγνωστιν V  νιφὼς A, νιφὸς M  χλόην δζ  **5** εἷς$^{2}$] εἶ V, εἶ F  **7** ὁδοὶ] ὅσοι δ  κρίσιν L$^{a}$ *sicut l. 8*  **8/9** μωρὸς-λαὸς *om. ob hom.* G  **8** L$^{b.mg}$  κρίσει O, κρίσις V  **9** πονηρὸς *bis* O  παρεκτετραμμένος] διάστροφον γένος P  **10** οἵων α  τινύουσι δ  **11** οὗτος *bis* O  διαπλάσαι L$^{a}$  **15** τῶν] τα L$^{a}$  **16** σε γ  **17** γένους V  **18** ἔνειμεν] <?>νημας O  ἔθνει A  καθιστᾶ AML$^{b}$, καθιστᾷ H, καθίσα θ  ὅρους OA

ἄλλους μὲν ἄλλοις ἀγγέλοις ἐπιστάταις,
αὐτὸς δ’ ἑαυτῷ κλῆρον εἴληχε μόνῳ
τὸν Ἰσραὴλ σχοίνισμα, τοὺς Ἁβραμίδας.
ὀφθαλμὸς ἦν ἄγρυπνος αὐτῷ προσβλέπων,
πηγὴν ῥέουσαν τὴν ἄνυδρον δεικνύει·
παρεμβαλὼν ἕστηκεν εἰς φρουρὰν κύκλῳ, 176$^{v}$
ὡς ὄμματός τις ἐξετήρησε κόρην,
ὡς ἀετὸς πτέρυξιν εὖ ἡπλωμέναις
συνεῖχεν αὐτούς, εἶχε καὶ μεταφρένων
ὕπερθε χρυσῶν, ὡς νεοσσοὺς ἠγάπα.
ἀνῆξεν εἰς γῆν ἰσχύος πεπλησμένην,
πολλῶν ἔπλησεν ἡδονῶν πικρὸν στόμα·
ἔλαιον ἐξέρρευσε καὶ μέλι πέτρας,
βοῶν καλῶν τύρωμα, θρεμμάτων γάλα,
ἀρνῶν, ἐρίφων, στέαρ ἐκ μόσχων νέων,
αἷμα σταφυλῆς, ἡδὺ τοῦ πυροῦ κράτος
ὡς χόρτον εἶχον, παντάπασιν ἐτρύφων.
πλησθεὶς Ἰακὼβ ἐξελάκτισε μέγα,
ὡς εὐτραφής τις, ὡς πλατύς τε καὶ μέγας·
ὡς πῶλος ᾄττων τοῦ Θεοῦ παρετράπη,
κρημνοὺς δὲ καὶ φάραγγας εἶχε καὶ πέτρας.
ἔθυσε πικροῖς φεῦ θεοῖς καὶ προσφάτοις,

SPAMHLVFGCE O usque ad l. 24 et inde a l. 28

**20/21** Deut. 7:6 **25/26** Ps. 16:8 **26** Ex. 19:4 **30** Deut. 8:7–10; 11:11–15 **31** *cf.* Io. Geom. 276.31, 290.20 **31/32** Deut. 31:20; Ps. 80:17 **36** Deut. 31:20; Ier. 5:7; Os. 13:6 **39** *cf.* Io. Geom. 273.9 **40** Ps. 80:10; I Cor. 10:20

**19** ἀγγέλους ἐπιστάτας β **20** ἑαυτὸν A, αὐτῷ H ἤληχε O$^{ac}$ μόνον β **21** τὸν] τοῦ V ἀβραμίδας POζ **22** πρὸβλέπων *sic* V **24** παρεμβολῶν ε ἔστηκας S, ἔστηκεν PML$^{a}$Fι, ἔστυκεν V **25** ἔμματος P ἐξετήρεσε S$^{ac}$ **27** εἶχεν V **29** εἰσχύος A$^{ac}$ πεπλασμένην L$^{a}$ **30** πολλὸν L$^{a}$ πικνὸν L$^{a}$ **31** ἐξέρευσε OALι, ἐξεύρεσε M, ἐξέλευσε V **34** κράτους V **35** πάντα πᾶσιν SLFι, πάντα πᾶσι O **36** ἐξελάκτησε O$^{ac}$ζ μεγά S **37** εὐτραφείς A τις] τε H μέγα F **38** πόλος AF$^{i}$E **39** κρυμνοὺς ζ φάραγγα O, φάλαγγας AM, φραγγας *sic* G **40** προσφύτοις P, προσφάτης F$^{i}$

θεοῖς βδελυκτοῖς, οὓς ἔγνωσαν οὐδέπω.
λιπὼν δὲ τὸν τεκόντα καὶ τρέφοντά σε,
θεοὺς ἐποίεις τοὺς τεκόντας τὴν πλάνην.
εἶδε τὸ φρικτὸν ὄμμα καὶ ζηλοῖ μέγα,
θυμοῦ γεμισθὲν εἶπεν· Ἐξαποστρέψω
πρόσωπον ἡδὺ τοῖς στραφεῖσι τὰς φρένας.
πῦρ ἐκκέκαυται, θυμὸς ἤρθη καὶ φλέγει
καὶ γῆν φάγῃ καρπούς τε καὶ τὰ γῆς βάθη,
καὶ πᾶν συνάξω δεινὸν εἰς αὐτοὺς τάχος,
πᾶν ἐκκενώσας τῆς φαρέτρας μου βέλος.
λιμῷ τακήσῃ, βρῶσις ὀρνέων ἔσῃ,
γένος πονηρόν, πλῆρες ἰοῦ θηρίον,
πικραῖς τενόντων συντελεσθήσῃ πάθαις.
στελῶ κατ' αὐτῶν θῆρας ἠγριωμένους,
ἔξω μαχαίρας, ἐν ταμείοις τοὺς φόβους,
ὁμοῦ δὲ πάντα· παρθένῳ νεανίας
καὶ σὺν γέροντι μαστὸν ἕλκον παιδίον.
εἶπον· Διασπερῶ σε, θήσω νωνύμους,

SPAMHLVFGCE O usque ad l. 45 et inde a l. 49

**41** Deut. 13:3.7 **45** Deut. 31:17 **47/57** Deut. 28:15–68 **47** Ier. 15:14; 17:4 **48** Gen. 3:14 **50** Iob 6:4; Ps. 7:13–14; 37:3 **50/51** Ez. 5:16 **51** Deut. 28:26.48 – *cf.* Io. Geom. 323.15 **52** *cf.* Greg. Naz. *Carm. mor.* 34.245; *Carm. de se ipso* 40.16 **53** Leu. 26:25; Ez. 5:17 **54** Leu. 26:22; Ios. 23:5; Ier. 8:17; Ez. 5:17 **55** Deut. 28:66–67; Thren. 1:20; Ez. 7:15 **56/57** Thren. 1:18; 2:21; Am. 8:13 **58** Deut. 28:64

**41** οἷς β ἔγνωσαν] ἔθυσαν OAMηG, ἔθυσεν H, ἔθησαν κ **42** λιπὸν θ τρέφοντά] σῴζοντά S **44** εἶδεν LF, ἶδεν V μεγά S **45** *partim illeg.* O ἐξαποστρέφω α **46** ἡδὺ *Scheidweiler*] ἰδοὺ *codd.* τραφῆσι V, τραφεῖσι F **47** πῦρ ἐκκέκαυται] παρεκκέκαυται ζ, πῦρ ἐκ L[b.mg] φλέγη S **49** συνάξον F[i.ac] **50** *om. ob hom.* θι πᾶν ἐκκενώσας] καὶ πᾶν κενῶσα P, καὶ πᾶν κενώσω γL[b.mg] βέλος] λόγε S[i.ac] **51** βρώσης V **52** *post* πονηρόν *add.* καὶ δ ἰοὺ M θηρίου GE **53** τεμνόντων S, κταινόντων O, τεμόντων V συντελεσθείσῃ S, συντελεσθή V σπάθαις P, σπάθες O, παθος *sic* F[i] **54** στελλ S[ac], τελῶ H **55** ἄξω δL[b.mg]V τιμίοις V **56** παρθένους γ, παρθένος ζ **57** μασθὸν ζ **58** εἶπα L διασπερῶ σαι E[i] θύσωνὠνύμους V, θύσωνωνύμους F

εἰ μὴ δι’ ὀργὴν βαρβάρων παραφρόνων,
μακροχρονούντων, μὴ συνεκτρίψωσί σε
καὶ κομπάσωσι καὶ λαλήσωσι μέγα·
Ἡμῶν ἔδρασε ταῦτα χείρ, οὐ κυρίου.
ἔθνος γὰρ ἄφρον καὶ παρεκτετραμμένον·
ἐς ὕστερον δὲ ταῦτα γνώσονται τάχα.
διώξεται γὰρ εἷς μόνος πῶς χιλίους,
καὶ μυρίους κλινοῦσι πῶς μόνοι δύο,
εἰ μὴ Θεὸς πέπρακεν αὐτοὺς εἰς φόνον
καὶ χερσὶν ἐκδέδωκε ταῖς ἐναντίων;
θεοὶ γὰρ αὐτῶν οὐδὲν ἶσοι τῷ μόνῳ·
παραφρονεῖ, μέμηνεν ἔθνη τὰ ξένα,
οἷς ἄμπελος μὲν Σοδόμων καὶ Γομόρρας,
χολῆς σταφυλή, πικρίας πλήρης βότρυς,
θυμὸς δρακόντων οἶνος, ἰὸς ἀσπίδων.
οὐ συμφορήσας ἐσφράγισα ταῦτά μοι,
καὶ πάντα κεῖται νῦν τεθησαυρισμένα;
ἐν ἡμέρᾳ τίσουσι ταῦτα τῆς δίκης·
ὁ καιρὸς ἐγγύς, ἠκόνηται τὸ ξίφος,
τὸ τόξον ἐντέτακα, τῇ νευρᾷ βέλος.

SPAMHLVFGCE O usque at l. 70 et inde a l. 74

**62** Deut. 8:17 **63** Ier. 4:22 **65** Is. 30:17 **67** *cf.* Greg. Naz. *Christus patiens* 1425 **68** Iud. 2:14 **73** Iob 20:16 **75** II Petr. 3:7 **76** Rom. 12:19; Hebr. 10:30 **77** Apoc. 1:3; 22:10 – Ps. 44:6; 119:4

**60** σε O$^{s}$ **61** κομπάσουσι L$^{a}$θι λαλήσοσι V, λαλήσαόσι κ **62** κηρίου S **63** ἄφρων AF$^{i}$, ἄφρονον L **64** ἐσύστερον S, εἰς ὕστερον OLFι, εἰσύστερον δ, εἰς ὕστρον V γενήσονται S **65** χειλίους S$^{ac}$, λιλίους V **66** μυριάδας A κλίνουσι V πως L μόνοι δύο *tr.* A$^{ac}$ μόνοι] μόνος S$^{ac}$, μεν οἱ V, μεν ο F$^{ac}$ **67** πέπραχεν O αὐτὸς G φθόνον S **68** ἐκδέδωκεν V ταῖς] τῶν εζ **69** αὐτὸν L ἴσοι δ τῷ *om.* S νόμω ι **70** παραφρονῆ S, παράφρον εἰ V μέμηνας S, μέμηλεν δ, μέμεινεν V **71** σοδόμον E **72** σταφυλῆς P πλήρης] πολὺς δ **73** ἰὸς] υἱὸς A **74** ἐφράγισας κ **76** κτίσουσι V **77** ξύφος V **78** ἐντέταται O εζ, ἐντέτακται A νεβρᾶ G$^{i}$ βέλος] τόξο O$^{i.ac}$

κρινεῖ γὰρ αὐτοὺς κύριος καὶ τοῖς λάτραις
ὀφθαλμὸν ἡδὺν ἐμβαλεῖ πεφρικόσιν·
εἶδε γὰρ αὐτοὺς ἐκτόπως παρειμένους,
ἐξηπορημένους τε καὶ λελοιπότας.
ἰδὼν ἔφησεν· Οἱ θεοὶ ποῦ καὶ φίλοι,
ἐφ’ οἷς ἐθάρρουν, ἐξεκόμπαζον μέγα,
ὧν θυσιῶν τὸ στέαρ, ὧν σπονδῶν ῥύσιν
εἰς πλῆρες εἶχον ἡδὺ βρῶμα καὶ πόμα;
οὗτοι γενέσθων σύμμαχοι καὶ προστάται.
οὐκ ἔστι, γνῶτε, πλὴν ἐμοῦ Θεὸς μόνος,
οὐκ ἔστι, κἂν δράμητε γῆν τε καὶ πόλον·
ἐγὼ τελευτῆς καὶ πνοῆς ὁ ταμίας,
ἐγὼ πατάσσω, φάρμακον δὲ τραυμάτων
ἐγὼ τίθημι· τίς σε χειρῶν ἐξέλοι 177r
ἐμῶν κρατουσῶν γῆς, πόλου καὶ τῶν κάτω;
αἴρω πρὸς ὕψος χεῖρα, τοῦτο δ’ ὀμνύω·
Ζῶ καὶ χρονίζω κρεῖττον αἰώνων ὅλων,
ζωὴ δὲ μᾶλλον καὶ πνοὴ πάντων ἔφυν.
ἐμὴν μάχαιραν ἀστραπῆς τιθῶ φλόγα,

SPAMHLVFGCE O usque ad l. 95

**79/80** Ps. 134:14; Hebr. 10:30 **83** Ier. 2:28 **88** *cf.* Io. Geom. 327.6 **88/89** II Reg. 7:22; Sap. 12:13; Eccli. 36:4; Is. 44:6.8; 45:5.6.14.21; 46:9; Bel 41; Ioel 2:27 **90** I Reg. 2:6; IV Reg. 5:7; Tob. 13:2; Sap. 16:13; Iac. 4:12; *cf.* Io. Damasc. *Hom. in sabb. sanct.* 28 **91/92** Is. 19:22; *cf.* Io. Chrysos. *Hom. in Gen.* 20.3 **92/93** Iob 10:7; Is. 43:13 **96** *cf.* Io. Geom. 318.18; 321.6

**79** γὰρ *om.* S αὐτοῖς β **80** ἡδὺν] ἰδεῖν δ πεφρικόσι A **81** εἶδεν PL$^{b}$ **82** λελοιπότας] πεπραμένους P **83** ἔφυσεν θ ποῦ] του *sic* A **84** ἐξεκόμπαζον] οἷς ἐκόμπαζον POζ, καὶ ἐκόμπαζον δ μεγά S **85** σποδῶν SOAL$^{b}$θι, ποδῶν PL$^{a}$ **87** γενέσθω Pθ, γενέθλων L$^{a}$ **88** L$^{b.mg}$, *om. ob hom.* θι **89** οὐκ ἔστι *om.* G κὰν S, κᾷν H δράμητε *legi non potuit* A, δραμῆτε VF$^{ec}$, δράμηται G$^{i}$ **90** τελευτῆς] θανάτου P ὁ ταμίας] αὐτοκράτωρ PQ$^{ac}$ ταμίας] ταμείας AMη, *post quod* ἐγὼ θανάτου καὶ πνοῆς (πνωῆς V) αὐτοκράτωρ *add.* β **92** σε] δὲ δL$^{b}$ ἐξέλη γηκ, ἐξέλει G τίθιμι V, θημι E **93** ἐμὸν V κρατοῦσι α **94** τούτω P δ’ ὀμνύων S, δ’ ὀμνύω LF, δομνύω V **95** κρείττων L$^{a}$ ὅλον V, ὅλην G **96** ζωῆ θ ἔφην VC$^{ac}$, ἔφιν E

ἀνθέξεται δὲ χεὶρ ἐμὴ τῶν κριμάτων,
καταξανῶ μάστιξι τοὺς ἀποστάτας·
βέλη μεθύσω τῶν βροτείων αἱμάτων
καὶ τὴν ἐμὴν μάχαιραν ἐκ τῶν σωμάτων.
οὕτω στρατηγήσαντος ἄρτι κυρίου,
σκίρτα μέν, αἰθήρ, οὐρανὸς σὺν ἀγγέλοις,
καὶ προσκυνεῖτε πᾶσα τῷ κτίστῃ κτίσις·
ἔθνη, χάρητε, κλῆρος, υἱοὶ κυρίου.

Ὠιδὴ γʹ

[I Reg. 2:1–10]

Ἄννης Σαμουὴλ μητρὸς εὐχαριστία.

Ὡς ἐκρατύνθην κυρίῳ τὴν καρδίαν,
ἤρθη κέρας μου τῷ Θεῷ, καὶ τὸ στόμα
ἐξεπλατύνθη καὶ κατ᾽ ἐχθρῶν ἰσχύει.
οὐκ ἔστιν οὐδεὶς κύριος πλὴν σοῦ μόνου,
δίκαιος οὐδεὶς ὡς σύ μοι Θεὸς μόνος.
ταῦτ᾽ οὖν ὁρῶντες, τοὺς ὑπερκόμπους λόγους

SPMHLVFGCE    O inde a l. 100    A usque ad l. 99

**100/101** Ier. 46:10; Ez. 21:13–22 **103** *cf.* Io. Geom. 304.17, 27
(**Od. 3**) **2/36** Luc. 1:46–55 **2** Is. 61:10; Luc. 1:47 **5** Deut. 32:39; II Reg. 7:22; Sap. 12:13; Eccli. 36:4; Is. 44:6.8; 45:5.6.14.21; 46:9; Bel 41; Ioel 2:27 – *cf.* Io. Geom. 327.6 **6** Deut. 32:4 – *cf.* Io. Geom. 338.18 **7/9** Ps. 74:6

**100** βροτῶν $E^{ac}$ **101** *om. ob hom.* OV **102** ἄρτι] ἄντι ε **103** σκιρτὰ S, κίρτα G συναγγέλοις E **104** προσκυνεῖται $LF^{i}$
**Odae tertiae titulus** $S^{mg}P^{mg}L^{mg}F^{mg}\kappa^{mg}$, *om.* O ε **1** $S^{b.mg}$, *om.* OV ἅννης *scripsi*] ἄννης SPεFι, ἄνης L εὐχαριστία *partim illeg.* S, *post* εὐχαριστία *add.* ἐστερεώθη ἡ καρδία μου (= *I Reg. 2:1b*) $F^{mg}$κ, *add.* ἐστερεώθη ἡ καρδία G **3** ᾔρθη H, ἥρθη κ **4** ἐξεπλητύνθη V ἰσχυίου V **5** πλὴν] ὡς $G^{ac}$ σου εLκ, τοῦ θ, σύ μοι θεὸς $G^{ac}$ (*cf. l. 6*) **6** $G^{mg}$ οὐδεὶς ὡς] οὐδαῦ O **7** ταύτοῦν V, τ᾽ αὖτ᾽ οὖν F ὑπερκόσμους V

ἐκκλινέτω πᾶς μηδὲ χειλέων πρόῃ,
μηδ᾽ ὄγκον ἄρῃ, μὴ φρεσί, μὴ καρδίᾳ·
Θεὸς γὰρ οὗτος γνώσεων ὁ δεσπότης,
τέχναι δ᾽ ἕτοιμοι τῷ τεχνουργῷ τῶν ὅλων.
τόξον κραταιῶν ἠσθένησεν εἰς τέλος,
οἱ δ᾽ ἀσθενοῦντες ζωννύονται τὸ κράτος·
πεινῶσιν ἄρτων οἱ πρὶν ἐμπεπλησμένοι,
πεινῶντες οἱ πρὶν γῆν παρῆκαν ἐκ κόρου·
τίκτει μὲν ἑπτὰ κοιλία στειρουμένη,
ἄλλη δ᾽ ἄτεκνος, ἡ πρὶν εὐτεκνουμένη.
Θεὸς χορηγὸς καὶ τελευτῆς καὶ πνοῆς,
βάλλει καθ᾽ ᾅδου, πρὸς τὸ φῶς ἕλκει πάλιν.
ὑψοῖ, ταπεινοῖ, πτωχίσας ἢ πλουτίσας.
πένητας ἐκ γῆς ἐξανιστᾷ, κοπρίας
πτωχοὺς ἐγείρει, κυκλικῶς πάντα στρέφει,
θρόνοις δυναστῶν ἐγκαθίζει τοὺς κάτω.
εὐχάς τε πληροῖ καὶ δικαίων τοὺς χρόνους
ἐπευλογεῖ, δίδωσιν εὐετηρίαν·
ἰσχυρὸς ἀνὴρ οὐκ ἐν ἰσχύι σθένει,
Θεὸς δὲ τούτου συμπατεῖ τὸν ἐνστάτην.
μηδεὶς φρεσὶ γοῦν μηδὲ πλούτῳ, μὴ βίᾳ

SPMHLVFGCE    O usque ad l. 17 et inde a l. 23

**13** Is. 40:29; *cf.* Greg. Naz. *Epist.* 44.5 **16** Ps. 112:9 **18** *cf.* Io. Geom. 300.16 **18/19** Deut. 32:39; I Reg. 2:6; IV Reg. 5:7; Tob. 13:2; Sap. 16:13; Iac. 4:12 **20/24** Iob 5:11; 12:19; Ps. 112:7–8; Prou. 3:34; Eccli. 10:14; Ez. 21:31; Luc. 1:52–53 **22** *cf.* Io. Geom. 281.27

**8** μὴδὲν *sic* P πρόει P, πρώη V **9** καρδίαν εζ **10** γνώσεως εθ **12** κραταιὸν PεL$^{b}$θι, δυνατῶν O **13** ζωνύονται L, ζωνίνονται V, ζωννύοντε G **14/17** *transposui I Reg. 2:5 nisus*] 16-17-14-15 *codd.* **14** ἄρτον Oεζ ἐμπεπλημένοι L **15** οἱ – γῆν] εἰς γῆν πρὶν θ οἳ L, *post* οἱ *add.* γῆν ι **19** πάλιν] πέλει θ **20** πλουτίσας (πλουτήσας ε) ἢ πτωχίσας (*tr.*) εζ **21** πένιτας SV **23** τὸν P **25** ἐπ᾽εὐλογεῖ O, ἐπεὐλογεῖν V, ἐπευλογεῖν F, ἐπευλογει *sic* C, ἐπευλόγει E **26** ἐνισχύει OM **28** φρεσὶν V γ᾽ οὖν F πλάτω θ, πλάτει ι βίω P

σοφός, κραταιός, πλούσιος σθένων μέγα
μέγα φρονείτω. πάντα ῥεῖ, πάντα στρέφει,
φόβος Θεοῦ βέβαιον ἐν βίῳ μόνον·
τῆς ἀρετῆς ἡ κτῆσις οὐ θνήσκει χρόνῳ.
πόλονδ᾽ ἀνῆλθε κύριος, βροντᾷ μέγα,
ἐξ ὑστέρου γῆς ἄκρα κρίνῃ σὺν δίκῃ·
οὗτος παρέξει τοῖς κρατοῦσι τὸ κράτος,
κέρας δὲ χριστῶν οὐρανοῦ θήσει μέχρι.

Ὠιδὴ δʹ

[Hab. 3:2–19]

Τοῦ δεσπότου σάρκωσιν Ἀμβακοὺμ ἔφη·

Φήμης με τῆς σῆς ἔσχε, κύριε, τρόμος,
ἔργων δὲ τῶν σῶν θάμβος ἐξέστησέ με.
ὡς γνωστὸς ἡμῖν ἐν δυσὶ ζωαῖς ἔσῃ,
ὡς ἐκφανὴς δὲ τῶν χρόνων ἐπ᾽ ἐσχάτων·
καιρῷ δὲ λάμψεις καὶ φόβῳ πεφρικότος
οἴκτου σὺ μνήσῃ καὶ καταστείλῃς δέος,

SPOMHLVFGCE

30 *cf.* Heraclit. Test. 1 (= Diog. Laert. 9.8); Test. 6 (= Pl. *Crat.* 402A8); Io. Geom. 281.27; 323.4; Simplicius *Comm. in Arist. Physic.* 5.4; 8.8
(**Od. 4**) **2** Deut. 2:25

**29** σθενέων θ μεγά S, μεγάς V, μέγας Fι **30** μεγά SV φρονείτῳ L **31** θεοῦ *om.* ι βὲβαὶ O, βιαιον *sic* L$^{a}$ **32** κτίσις OηG$^{ac}$, κτῖσις E χρόνον ε **33** πόλονδ᾽ Scheidweiler] εἰς οὐρανοὺς *codd.*; *cf. Paraphr. l. 220* ἀνῆλ *sic* O βροντᾷ μέγα] βροτῶν L **34** ὑστέγου ε κρήνη S, κρινεῖ O, κρίνει ζ **35/36** *om.* H **36** *om.* POMζ
**Odae quartae titulus** S$^{mg}$P$^{mg}$L$^{mg}$F$^{mg}$κ$^{mg}$, *om.* Oε **1** *om.* OV σάρκωσις S$^{a}$ ἀββακοὺμ ε, ἀβακοὺμ Lι *post* ἔφη *add.* κύριε εἰσακήκοα την *sic* (= *Hab. 3:2a*) F$^{mg}$, *add.* κύριε εἰσακήκοα τὴν ἀκοήν σου ι **2** μήμης M, ὡς μου φαίνεται μνήμης θελει *sic* M$^{mg}$, μνήμης H, φήμής L$^{b.ec}$, μήμής V, ήμής F (φ F$^{mg}$) κύριε] χριστέ ε τρόμος] τὸ κράτος ε, κράτος Oζ ἐξέτησέ O **4** ζωῆς V **5** ἐκφανῆς SO, ἐμφανὴς PV$^{ac}$, ἐμφανεὶς V$^{pc}$, ἐκφανεὶς F **6** λάμψει H, λάμψης L$^{a.ec}$ι πεφρικότες O **7** οἴκτα M, ὀικτα H μνήσει θ δεός S, δέους *forsan* E

ὡς ἐξανίσχεις γῆς ἑῴας φωσφόρος,
λέων καθώσπερ ἐξ ὄρους κατασκίου.
σῆς ἀρετῆς ἔκρυψεν οὐρανοὺς πλάτος,
ἔπλησε δόξης τὴν ὅλην οἰκουμένην,
οὗ φέγγος ὡς φῶς, χερσὶν ἰσχύος κέρας,
φίλτρον κραταιόν, οἶκτος οὐκ ἔχων πέρας·
οὗ πρὸ προσώπου ἐκπορεύσεται λόγος,
παιδευτικὴ μάχαιρα, δίστομον ξίφος.
ἔστης, ἐσείσθη χθών· ἐπεῖδες, τήκεται
ἔθνη κραταιά, τῇ βίᾳ διεθρύβη
ὄρη πετρῶν τε σκληρότης διερράγη.
πᾶς ἐπτοήθη Μαδιάμ, πᾶς Αἰθίοψ.
καθ’ ὑδάτων στείλειας ὀργὴν μὴ σύ γε,
θυμὸς δὲ τοῖς ῥέουσι μὴ σὸς ἐμπέσοι,
μηδ’ ἐν θαλάσσῃ σὴ παρόρμησις, μέδον;
ἔβης ἐφ’ ἵππους, ἱππάσῃ σωτηρίαν.
τενεῖς τὸ τόξον καὶ κατὰ σκήπτρων βαλεῖς. 177[v]
ῥαγήσεται γῆ ναμάτων ἀειρρύτων.
ὠδὶς ἐπέλθοι τοῖς βλέπουσι σὴν χάριν
καὶ συνταράξεις ὑδάτων τὰς πλημμύρας·

SPMHLVFGCE O usque ad l. 10 et inde a l. 14

**8** ἐξανίσχει P, ἐξανίσχης ε γῆς *om.* κ **8/9** cf. Io. Geom. 308.1 **9** Ps. 9:30; 16:12; Ier. 27:44; 30:13 **11** Num. 14:21; Ps. 71:19 – *cf.* Io. Geom. 344.27 **15** Hebr. 4:12; Apoc. 1:16; 2:12; *cf.* Eustath. *Comm. ad Hom. Od.* 3.332; Io. Geom. 328.16 **16** Iud. 5:4; Ps. 103:32 **16/17** Ex. 15:15 **19** Ex. 15:16 **24** Ps. 57:8 **25** Num. 16:31

**9** ὅρους L **10** ἀρετῆς] οὐρανὸς P οὐρανοὺς] ἀρετῆς P, οὐρανὸς ε **11** δόξαν ε, δόξα ζ **13** φίλκτρον S, φίλτρων L[a] **14** πρὸ προσώπων SO, προπροσώπων P, προπροσώπου Vκ, πρπροσώπων *sic* F ἐκπορεύεται P **15** παιδευτικῆ θ δίστομου *sic* V **16** ἕστης *uoluit* O ἐπείσθη S, σείσθη G τήκεται] τὴκέτεθνη V, τήκετἔθνη F[ec], τήκετ’ ἔθνη ι **17** κραταιᾶ P, κραταιὰς V **18** πετρῶν] περσῶν P τε] δὲ P **20** στεῖλας L[a]θ, στείλας ι μὴ] με G σύ γε] σύγη V **21** *om.* O **22** μηδ’ ἐν] μὴδένα V σὴ] σὺ O παρορμήσεις O μέδων Pεζ, μένων O **23** ἔβης] εως *sic* S[a] ἵππου H **24** τὸ *om.* G τόξων L[a] σκῆπτρον Pι βάλης Oι, βάλλης ML, βάλῃς H, βάλλεις θ **25** γῆν αμάτων E γῇ V ἀειῤῥύτων H **26** ὠδὶς] ὡς δὶς ε ἐπέλθη F[i] σὴν] τὴν ζ

φωνὴν ἄβυσσος ἦρεν, ὑψώθη μέγα
ὁ φωτὸς ἄρχων, ὡς παρίππευσε κάτω,
ἔστη πρὸς αὐγὰς ἡ σελήνη τοῦ πόλου·
σὴ καὶ βολὶς φῶς, ἀστραπῆς δὲ πῦρ ὅπλον.
γῆν ἐξερημοῖς σαῖς ἀπειλαῖς, σῷ χόλῳ
ἔθνη κατάξεις. ἦλθες εἰς σωτηρίαν
λαοῦ τε τοῦ σοῦ τῶν τε σοὶ κεχρισμένων·
βάλλεις κατ’ ἐχθρῶν δυσμενεστάτων μόρον,
δεσμοῖς τραχήλους, συντρίβεις τοὺς αὐχένας.
κάρας δυναστῶν ἐκτέμνεις ἐν ἐκστάσει
καὶ σεισμὸς αὐτοὺς λήψεται τῆς καρδίας·
χανοῦσιν οἷα πτωχὸς ἐσθίων λάθρᾳ.
ἵππους δὲ τοὺς σοὺς εὐδρομεῖν καθ’ ὑδάτων
δέδωκας, ὑγρὸν συνταράττοντας κύτος.
κατεπλάγην, ἔφριξα καὶ συνεστάλην
οἷς θεσπιῳδῶ καὶ τὸ μέλλον προβλέπω·
εἰσῆλθεν αὐτῶν μέχρις ὀστέων τρόμος,
συνεκλονήθην καὶ βάθος τῆς ἰσχύος.
ἀνήσομαι τὸ πνεῦμα καιρῷ τῶν πόνων,
εἰς λαὸν ἔλθω τῆς ἐμῆς παροικίας.

SPMHLFGCE O usque ad l. 37 et inde a l. 41 V usque ad l. 34

**30** Ios. 10:13 **40/41** Ps. 76:20; Is. 43:16 **41** Ps. 64:8 **46** Is. 61:10; Luc. 1:47

**28** ἦρεν OH, ῆρεν E ὑψόθι POLFι, ὑψώθεν V **29** περίππευσε O, παρίπτευσε L$^{a}$θG, περίπτευσε κ **30** ἕστη F πόθου G$^{ac}$ **31** σῆ θ βολῆς O$^{ac}$, βολοῖς E$^{ac}$, βολὸς E$^{pc}$ **32** ἐξερημοῖσι M, *post* ἐξερημοῖς *add.* σὺ H, ἐξερημεῖς LFι **33** κατάξαις S ἦλθεν V εἰσωτηρίαν S **34** λαούς εL$^{b}$ τε$^{2}$ *om.* O σοι HL κεχαρισμένων O, κεχρημένων L$^{a}$, κεχρησμένων Fι **35** δεσμενεστάτων M **36** δεσμεῖς PH τραχήλων LFι συντρίψεις Oε **37** *partim illeg.* O ἐνεκστάσω S$^{b}$ **38** σεισμοὺς SM$^{ac}$L$^{a}$ λείψεται P, λήψετε F$^{i}$ **39** χαυνοῦσιν Sε **41** ⟨δέ⟩δωκας *uel* ⟨ἔ⟩δωκας O συνταράσσοντας O κῆτος O **42** ⟨κ⟩ατεπλήγην O **43** θεσπεσιωδῶ O, θεσπεσιωδῶν LF προβλέπων LFι **44** αὐτοὺς ε, αὐτὸς F, αὐτῶ κ **45** συνεκλονήθην – ἰσχύος] αὐτὸς καθ’ αὐτὸν ἐκλονήθην οὐ σθένω P, *post* ἰσχύος *add.* αὐτὸς καθ’ αὐτὸν (αὐτὸν OL$^{ac}$F) ἐκλονήθην (ἐκλονήθη O) οὐ σθένω (σθένος ε, σθένων Lι, σθένον F$^{i}$) OεLFι **46** χαρήσομαι S

δι’ ὧν συκῆ γλυκεῖα καρπῷ μὴ βρίσει
μηδ’ εὐφορήσει βότρυς ἐν ταῖς ἀμπέλοις·
ψευσθήσομαι δὲ ταῖς ἐλαίαις προσβλέπων,
καὶ τῆς ἀρούρας βρῶσις οὐ πλήσει στόμα·
καὶ θρεμμάτων τὸ πλῆθος ἐκλέλοιπέ μοι
λιμῷ τακέντων, καὶ βοῶν κενὴ φάτνη.
ἐμοὶ δὲ δόξα κύριος, χαρά, σθένος,
εἰς συντέλειαν τῶν καλῶν τάττων πόδας,
τιθεὶς πρὸς ὕψος ὥστε νικᾶν ἐν μέλει.

## Ὠιδὴ εʹ

[Is. 26:9–19]

Ἡσαΐου πρόρρησις - εὐχὴ τὸ πλέον.

Ἐκ νυκτὸς αὐγὴν εἶδε σὴν τὸ πνεῦμά μου·
φῶς γὰρ νόμος σὸς τοῖς ἐφημέροις, λόγε.
οἱ γῆς ἔνοικοι, γνῶτε τὴν ἴσην κρίσιν.
ἰδού, πέρας γὰρ ἔσχε τῶν τολμημάτων
